## Μελῶν ᾱ

### 1 (23 B., 1 D.)

1 P.Louvr. E 3320

col. i

] Πωλυδεύκης·
οὐκ ἐγὼ]ν Λύκαισον ἐν καμοῦσιν ἀλέγω
Ἐνα]ρσφόρον τε καὶ Σέβρον ποδώκη
]ν τε τὸν βιατὰν
]. τε τὸν κορυστὰν
Εὐτείχη] τε ϝάνακτά τ' Ἀρήιον
]ά τ' ἔξοχον ἡμισίων·
]ν τὸν ἀγρόταν ἀγρέταν Smyth Hesych. ἀγρέταν· ἡγεμόνα
] μέγαν Εὔρυτόν τε
]πώρω κλόνον
]. τε τὼς ἀρίστως
] παρήσομες
]αρ Αἶσα παντῶν
] γεραιτάτοι
ἀπ]έδιλος ἀλκὰ
μή τις ἀνθ]ρώπων ἐς ὠρανὸν ποτήσθω
μηδὲ πη]ρήτω γαμῆν τὰν Ἀφροδίταν
ϝ]άν[α]σσαν ἤ τιν'
] ἢ παίδα Πόρκω
Χά]ριτες δὲ Διὸς δ[ό]μον
]σιν ἐρογλεφάροι·
]τάτοι
]τα δαίμων
]ι φίλοις
]ωκε δῶρα
]γαρέον
]ώλεσ' ἥβα
]ρονον
].ταίας
]έβα· τῶν δ' ἄλλος ἰῶι
] μαρμάρωι μυλάκρωι





].εν Ἀΐδας
]αυτοι
]΄πον· ἄλαστα δὲ
col. ii ϝέργα πάσον κακὰ μησαμένοι·
ἔστι τις σιῶν τίσις·
ὁ δ' ὄλβιος, ὅστις εὔφρων
ἁμέραν [δι]απλέκει
ἄκλαυτος· ἐγὼν δ' ἀείδω
Ἀγιδῶς τὸ φῶς· ὁρῶ
ϝ' ὥτ' ἅλιον, ὅνπερ ἆμιν
Ἀγιδὼ μαρτύρεται
φαίνην· ἐμὲ δ' οὔτ' ἐπαινῆν
οὔτε μωμήσθαι νιν ἁ κλεννὰ χοραγὸς
οὐδ' ἁμῶς ἐῆι· δοκεῖ γὰρ ἤμεν αὔτα
ἐκπρεπὴς τὼς ὥπερ αἴτις
ἐν βοτοῖς στάσειεν ἵππον
παγὸν ἀεθλοφόρον καναχάποδα
τῶν ὑποπετριδίων ὀνείρων·

---

1 seqq. cf. Clem. Alex. *protr.* 36, et schol. ibid. i 308 Staehlin (de Hercule ab Hippocoontis filiis vulnerato): μέμνηται καὶ Ἀλκμὰν ἐν ᾱ 2 Schol. Pind. *Ol.* xi 15 a, i 346 Dr. ἀλέγων ὑμνῶν. καὶ Ἀλκμάν (Ἀλκαῖος codd.)· οὐκ ἐγὼ Λύκον ἐν Μούσαις ἀλέγω. παρὰ τὸ ἀλέγειν καὶ φροντίδα ποιεῖν 6 An. Ox. Cramer i 158. 31 ὅσοις κυρίοις εἰς $\overline{ης}$ λήγουσι βαρυτόνοις συνθέτοις παράκειται ἐπιθετικά, ταῦτα ὀξύνεται . . . εἴ που βαρύνεται τὸ κύριον, τὸ ἐπιθετικὸν ὀξύνεται. εἰ οὖν ἐστιν Εὐτείχης ὄνομα κύριον παρ' Ἀλκμᾶνι, Εὐτείχη τ' ἄνακτ' ἀρήιον, καὶ ὤφειλεν εἶναι τούτωι τῶι λόγωι Εὐτειχέα. πόθεν οὖν ἡ τετριμμένη βαρεῖα τάσις; similia Hdn. I 81. 33, II 99. 32 L.; cf. Schol. A Hom. *Il.* 16. 57, εἰ δὴ Εὐτείχης ὄνομα κύριον παρ' Ἀλκμᾶνι, ὀξύνεται τὸ ἐπιθετικόν 19 Hesych. s.v. Νηρεύς· θαλάσσιος δαίμων. Ἀλκμὰν καὶ Πόρκον ὀνομάζει 49 Et. Mag. 783. 20, Et. Sym. cod. V ibid. Gaisf. ὑποπτεριδίων ὀνείρων (ὑποπτέρων ὀν. codd. DM, ὑποπτεριδίων (sscr. πετρι) ὀν. Et. Sym.)· Διονύσιος ὁ Σιδώνιος πρῶτος ταύτηι τῆι ἐπιβολῆι ἐχρήσατο, ἧιπερ χρῶνται οἱ γραμματικοί, ὡς τύμβος τυμβίδιος, . . . πτερὸν πτερίδιον. ἐχρῆν οὖν εἰπεῖν καὶ τῶν ὑποπτέρων ὀνείρων τῶν ὑποπτεριδίων ὑπερθέσει τῶν ὑποπετριδίων (ὑποπετερ- DM, ὑποπετρ- Et. Sym.)· οὕτως Ἡρωδιανὸς ἐν τῶι περὶ Παθῶν (II 237. 11 L.)

---

accentus, sim., permulti; vid. *Alcman* (1951) 4 seqq.
2 suppl. e schol. Pind. l.c. 3 ἀλλ' Ἐνα] suppl. Bergk 6 suppl. ex An. Ox. l.c. fort. Ἀρήιτον scribendum, coll. schol. A 11 Ἄλκων]α suppl. Bergk 13 γ]ὰρ veri sim. 14 seq. καὶ Πόρος] γεραιτάτοι | σιῶν vel δαιμόνων] γεραιτάτοι | Πόρος τ'· veri sim., coll. schol. A 16–17 suppl. Blass 17 γαμεν 18 Κυπρίαν] suppl. Blass 20 suppl. Blass 25 ἔδωκε vel δέδωκε 28 θρόνον vel χρόνον 29 ματαίας veri sim. 35 εργα 38 suppl. Blass 39 άκλαυστος 41 ϝ(ε) Diels, alii: scriba quid voluerit incertum 43 φάινεν, επαὶνὲν 44 μὼμέσθαι 45 δοκεει, είμεν sscr. η 46 ωιπερ

ἢ οὐχ ὁρῆις; ὁ μὲν κέλης
Ἐνετικός· ἁ δὲ χαίτα
τᾶς ἐμᾶς ἀνεψιᾶς
Ἁγησιχόρας ἐπανθεῖ
χρυσὸς [ὡ]ς ἀκήρατος·
τό τ' ἀργύριον πρόσωπον,
διαφάδαν τί τοι λέγω;
Ἁγησιχόρα μὲν αὕτα·
ἁ δὲ δευτέρα πεδ' Ἀγιδὼ τὸ ϝεῖδος
ἵππος Ἰβηνῶι Κολαξαῖος δραμήται·
ταὶ Πεληάδες γὰρ ἇμιν
ὀρθρίαι φᾶρος φεροίσαις
νύκτα δι' ἀμβροσίαν ἅτε σήριον
ἄστρον ἀυηρομέναι μάχονται·
οὔτε γάρ τι πορφύρας
τόσσος κόρος ὥστ' ἀμύναι,
οὔτε ποικίλος δράκων
παγχρύσιος, οὐδὲ μίτρα
Λυδία, νεανίδων
col. iii ἰανογ[λ]εφάρων ἄγαλμα,
οὐδὲ ταὶ Ναννῶς κόμαι,
ἀλλ' οὐ[δ'] Ἀρέτα σιειδής,
οὐδὲ Σύλακίς τε καὶ Κλεησισήρα,
οὐδ' ἐς Αἰνησιμβρ[ό]τας ἐνθοῖσα φασεῖς·
Ἀσταφίς [τ]έ μοι γένοιτο
καὶ ποτιγλέποι Φίλυλλα
Δαμαρ[έ]τα τ' ἐρατά τε ϝιανθεμίς·
ἀλλ' Ἁγησιχόρα με τείρει.
οὐ γὰρ ἁ κ[α]λλίσφυρος
Ἁγησιχ[ό]ρ[α] πάρ' αὐτεῖ,
Ἀγιδοῖ .... αρμένει
θωστήρ[ιά τ'] ἄμ' ἐπαινεῖ.
ἀλλὰ τᾶν [..]... σιοὶ
δέξασθε· [σι]ῶν γὰρ ἄνα
καὶ τέλος· [χο]ροστάτις,
ϝείποιμί κ', [ἐ]γὼν μὲν αὐτὰ
παρσένος μάταν ἀπὸ θράνω λέλακα





γλαύξ· ἐγὼ[ν] δὲ τᾶι μὲν Ἀώτι μάλιστα
ϝανδάνην ἐρῶ· πόνων γὰρ
ἇμιν ἰάτωρ ἔγεντο·
ἐξ Ἁγησιχόρ[ας] δὲ νεάνιδες
ἰρ]ήνας ἐρατ[ᾶ]ς ἐπέβαν·
τῶ]ι τε γὰρ σηραφόρωι
..]τῶς εδ...........
τ[ῶι] κυβερνάται δὲ χρὴ
κ[ή]ν νᾶϊ μάλιστ' ἀκούην·
ἁ δὲ τᾶν Σηρην[ί]δων
ἀοιδοτέρα μ[ὲν οὐχί,
σιαὶ γάρ, ἀντ[ὶ δ' ἕνδεκα
παίδων δεκ[ὰς ἅδ' ἀείδ]ει·
φθέγγεται δ' [ἄρ'] ὥ[τ' ἐπὶ] Ξάνθω ῥοαῖσι
κύκνος· ἁ δ' ἐπιμέρωι ξανθᾶι κομίσκαι
col. iv [ ]
[ ]
[ ]
[ ]

61 Herodian. π.μ.λ. β 36, II 942. 9 (cf. I 393. 2) L. παραφυλακτέον ὅτι τὸ φάρος τυχὸν συστελλομένου τοῦ ᾱ ἀναδέχεται πάλιν ἐν διαφόρωι σημαινομένωι τὰ τρία γένη . . . οὐδέτερον, ὁπότε σημαντικὸν τοῦ ἱματίου ἢ καὶ τοῦ ἀρότρου, ὡς καὶ παρ' Ἀλκμᾶνι· ἀλλὰ καὶ παρ' Ἀντιμάχωι (fr. 119 Wyss)· ἀεὶ φάρεος χατέουσιν ἑκόντες (χατεύουσιν ἔχων codd.: corr. Lehrs)· οὕτως ἐν τοῖς ἀντιγράφοις εὕρηται 64–65 Schol. Lips. Hom. *Il.* 5. 266, i 243 Bachm. (eadem, sed τόσσος, Eust. *Il.* 546. 29), φησὶ γὰρ ὁ γραμματικὸς Ἀριστοφάνης τὸ ἀμύνεσθαι οὐ μόνον σημαίνειν τὸ κακῶς παθόντα ἀντιδιατιθέναι, ἀλλὰ τίθεσθαι καὶ ἀντὶ ψιλοῦ τοῦ ἀμείψασθαι. φέρει γὰρ χρῆσιν ἔκ τε Ἀλκμᾶνος τό· οὐ γὰρ πορφύρας τόσος κόρος ὥστ' ἀμύνασθαι 71 Et. Mag. 134. 25, Et. Sym. cod. V Ἀραιτασιείδης· κατὰ συγκοπὴν Ἀραιτασιοειδής, ὡς σιοειδής σιειδής συγκοπῆι τοῦ ō

51 ενετικος: Ἐνητικὸς Diels; fort. potius ϝενητ- 54 [ὥ]τ' coni. Blass 56 διαφρα-, deleto ρ 58 ἁγιδῶι ἀ ειδος 59 ειβὴνωι, δραμέιται 60 πελειάδες 61 Ὀρθίαι (ϝορθίαι) coni. Bergk, coll. schol. A 62 σιρ, sscr. ut vid. σειρ 63 αυειρ- 64 ουτι, sscr. ε 69 ἰανο-: vid. Taillardat *Rev. de Phil.* 27 (1953) 131 seqq. 76 ιανθ- 80 [δὲ π]αρμένει vel [δ' ἴκτ]αρ μένει veri sim. 82 τᾶν [εὐ]χὰς (Blass) veri sim. 85 ειποιμί 86 βεβακα, sup. utrumque β scr. λ 88 ἀνδ- 91 ἰρ] potius quam εἰρ], sed etiam η incertum 93 αὐ]τῶς veri sim. 97 suppl. Weil 98 e schol. A suppl. 99 suppl. Wilam., Blass 100 suppl. Blass 104 seq. latet Hagesichorae nomen 105 in marg. coronis

## Schol. A: in marginibus P.Louvr. scripta

2 ὅτι τοιαύτη ἡ | διάν(οια)· τὸν Λύκαι|ον οὐ συγκατα|ριθμ(ῶ) τ[οῖς] α... | [Ἱπ-ποκων]τίδαις | ουμ[....]...|του[.......]. | .ϵια.[..]...[.]. | ἔσται οὐ μόνον | τὸν Λύκαι(ον) ἀλλ[ὰ] | καὶ τοὺς λο[ι]ποὺς | Δηρίτιδας οὓς ἐπ' ὀ|νόματος λέγει

6 (scr. manus[2]) Φερεκ(ύδης) ἕνα | τ(ῶν) Ἱπποκωντιδ(ῶν) | Ἀρήιτον· μή[π]ο|τ' οὖν κ(αὶ) ὧδε σὺν τῶ[ι τ̄] | δεῖ γρ(άφειν) ἢ τ(ὸν) Ἀρήιτον | ὁ Ἀλκμ(ὰν) Ἀρήιον

14 ὅτι τὸν Πόρον εἴρηκε τὸν αὐτὸν | τῶι ὑπὸ τοῦ Ἡσιόδο(υ) μεμυθολογη|μένωι Χάει

32 Ἀριστο(φάνης) Ἀΐδας, Πάμφιλο(ς) | Ἀιδας

37 αἱ π(ρὸς) τῆ(ς) Ἀγιδοῦς ......

38 Ἀρί(σταρ)χ(ος) ὅ[δ' ὄλβιος]

42 ἐντεῦθεν αἱ π(ρὸς) τῆς Ἀγησιχόρ(ας) | παρα[....].ουσι

48 αἱ π(ρὸς) τῆ(ς) Ἀγιδο(ῦς) τοῦτ[ο....] | οτα αἱ π(ρὸς) τῆ(ς) Ἀγησιχό(ρας)

49 ὅτι τὰ θαυμα|στὰ καὶ τερατώδη οἱ | ποιηταὶ εἰώθα(σι) τοῖς | ὀνείροις προσάπτειν κ(αὶ) | παρομοιοῦν διὰ τὸ φαίνεσθαι | κατὰ τὸ[ν] ὄνειρον τοιαῦτα· | ὑ[πο]π[ετρ]ιδίο(υς) εἴρηκε ὡς | ὑπὸ π[έ]τρα(ι) οἰκοῦντα(ς) | ἐν α.... τόπω(ι)· παραγρά(φει) | δὲ Ὅμη(ρον) ὡς ἐν τῆ(ι) Ὀδυσσείαι· | Πὰρ δ' ἴσαν Ὠκεανοῖο ῥοὰς | καὶ Λευκά|δα πέτρην ἠδὲ παρ' ἠελίοιο πύλας καὶ δῆμο(ν) ὀνείρων

59 |τα γένη ἐστὶν ........ικῶν ἵππων [.].[ | Εἰβην( ) | ....[.].... | .αζειαγ-[...]... | την

61 sup. voc. φᾶρος: αροτο

sub col., ad vv. 60 seqq. spectantia: ἄρ[ο]τρο(ν)· | ὀρθίαι φᾶρος· Σωσιφάνης ἄροτρον. ὅτι | τὴν Ἀγιζὼ καὶ Ἀγησιχόραν περιστεραῖς εἰκάζουσι /

supra col. ad vv. 64 seqq. spectantia, linearum vi reliquiae: tres priores legere nequeo (nisi in tertio διδάσκαλος), in tribus sequentibus tantum (4) ]ις τ' ἀριθμ' τ' ιβ̄ πρωτοσ......... οὐδὲ ταὶ Ναν[νῶς κόμαι], (5) .......... Ἀρέτα..... Θυλακίς (συλ, sscr. θ) τ(ε) κ(αὶ) Κλεησισήρα[, (6) τ]ε κ(αὶ) Ἀσταφὶς ...... κ(αὶ) Φίλυλλα κ(αὶ) Δαμαρέτα κ(αὶ) Ἰανθεμ[ίς

79 ἀν(τὶ) αὐτοῦ. | Στασικλεῖ.[|.[.].ρ.

81 θωστήρια ἑορτ[ή

83 ὅτι τὸ ἄνα ἄνυσις

88 ἀρέσκειν ἐπιθυμῶ

95 ναῖ ναὶ Ἀρι...

98 ενδ...|τα..[....]δ° εἴρηκε | ἀλλὰ διὰ | τὸ τὸν | χορὸν ὅτε μὲν ἐξ ια̅ παρθένων ὅτε δὲ ἐκ ι̅· φη(σὶν) οὖν | τὴν χορηγὸν ...γγ... ἀντὶ ια̅ ἄιδειν ι̅· ἐξῆν γὰρ α. | ἀριθμὸν εἰπεῖν ..... εἴπερ οὐκ ἐβούλετο τὸν ἀριθ[μ(ὸν) τ(ῶν) | παρθένων - - - (cetera vix legibilia, nisi αι Ολυμπι et ιθ̅ εξην)





## Schol. B: P.Oxy. 2389

fr. 6 col. i

].ς ἵππος Κολαξαῖος  
]οὕτως ἡ Ἀγιδὼ προ  
δευ]τέρα κατὰ τὸ εἶδος  
] ἵππος Κολ[αξαῖος πρὸ]ς Ἰβηνὸν  
Κολ]αξαίου δ.[........ ].[....]ο  
Ἰβ]ηνοῦ· πε[ρὶ δὲ τοῦ γένο]υς τῶν  
ἵππω]ν Ἀρίσταρχος ο[ὕτως ἱστορ]εῖ· ἀμ-  
φότερ]α ταῦτα γένη ἵπ[πων......]κά· λέ-  
γουσι] δὲ ἀμφοτέρω[ν διαπρε]πόντων  
προφ]έρειν τὸν [Ἰ]βην[όν·.....] τοὺς  
Ἰβην]ούς φησιν τῆς Λ[υδίας ἔθνος εἶ]ναι·  
ἀπὸ τ]ούτου δὲ βούλετ[αι.......ὅτι] Λυ-  
δὸς ἦν] ὁ Ἀλκμάν· Σω[σίβιος δὲ τὸ τ]ῶν  
Ἰβηνῶ]ν ἔθνος ἀποφ[αίνει .... ].ρι-  
]κεῖσθαι προσα[γόμενος .. ].δο  
μ]άρτυν· περὶ δὲ τῶ[ν Κολαξαί]ων  
Εὔδοξο]ς ὁ Κν[ίδι]ος δια[ ]νεαμ[  
]..ιως γρ[ ]δε.[  
] τὸν πόντον τοῦτο[ν

. . .

post e.p. pauca suppl. Barrett *Gnomon* 33 (1961) 682 seqq.

1 seqq. incertum quo modo versus obscurissimos (vv. 58–59 supra) interpretetnr: v. 1 fuerit ] ὡς ἵππος necne, videtur Agido cum equo Colaxaeo comparari; si eadem Agido v. 3 δευτέρα κατὰ τὸ εἶδος dicitur (ut veri simill.), credideris commentatorem cum Aristarcho consentire, qui Colaxaeum Ibeno posthabendum censuit. itaque nominative ἁ δὲ δευτέρα Ἀγιδώ intellexit, adverbiascente πεδά, 'quae deinde pulchritudinis secundas fert, scilicet Agido, ea (cum Hagesichora) velut equus Colaxaeus cum Ibeno concurret (= Hagesichorae palmam cedet)': obstat tamen v. 2 προ-, cum πρὸς Ἀγησιχόραν· καὶ γὰρ δευτέρα κτλ. exspectasses; at divisio πρὸ|ς quoad sciam inaudita. egomet πεδ' Ἀγιδώ nihil nisi 'post Agido' (accus.) significare posse credo: 'quaecunque puella post Agido secundas fert, ea (cum rivali sua) velut Col. cum Ib. concurret' (i.e. reliquae puellae, quae in proxima stropha nominatim memorantur, non tam formosae sunt ut chori rivalis aequales superent,—'neque enim satis purpurae habemus, etc.')

8 cf. schol. A ad 59 Ἀσιατι]κά, sim. 13 vel δ' ἕτερ]ον (Barrett) 13 seqq. 'Σω. Ibenorum sedem (nescio quo loco) esse demonstrat, testem (nescio quem) adducens' ].δω in ].δο corr. Π, fort. Ἡρόδωρον in -δοτον (Barrett) 17 vel Κτησία]ς (e.p.)

## fr. 6 col. ii

ἆμιν ὀ[ρθρίαι φᾶρος φεροίσαις νύκτα δι'
ἀμβροσία[ν ἅτε σίριον ἄστρον ἀνειρομέναι
μάχοντα[ι
εἰρημέν[
τὴν Ἀγιδὼ̣ [
αὐταῖς ὀρ[
δὲ τοῦτο λ.[ πλεο-
νάκις εἰσα̣[ Ἀ-
ταρνίδες [
[
αδ.... .[
χονται· τὰς [δὲ Πλειάδας Πελειάδας φη-
σὶν καθάπερ [ καὶ Πίνδαρος ὀρει-
ᾶν γε Πελει[άδων μὴ τηλόθεν 'Οαρίωνα
νεῖσθαι· ἐὰν [
οὕτως ἀκοῦσα[ι ἥ τε Ἀγησιχό-
ρα καὶ ἡ Ἀγιδὼ.[
οὖσαι τὸ τοῦ σιρ[ίου ἄστρον
μαχόμεναι πε̣[
πλειάδων τὸ α[
γὰρ ὡς πελει[άδες
ρουσιν πα.[
νύκ[τ]α δι' ἀ[μβροσίαν ἅτε σίριον ἄστρον ἀνει-
ρο]μέναι μ[άχ]ο[νται
πειν τι· εἶναι γὰρ [ νύκτα δι' ἀμβρο-
σίαν ἀντίστροφο[ν τῶι κανα-
χάποδα ὥστε ηλ[
λείπειν· τιμων[
.]ν ἄστρον ἅτε σ[ίριον κατὰ
λόγον τοιοῦτον [
ἡμᾶς περὶ τῆς [
]..νου ἀστρ[
].πο[

. . .

fere omnia suppl. e.p. 9 Atarnides quid sibi velint prorsus ignotum 11 διομ possis, tum spat. ii litt. vac.; fort. δι' ἀμβρ[οσίαν ἀνειρομέναι μά|χονται voluit 12 seqq. Pind. *Nem.* 2. 11 (cf. Athen. xi 490 F) 24 seq. φασὶ δὲ ἐν τοῖς ἄνω ἐλλεί|πειν τι possis: sed de responsione minus accurate disserit, de omissione (24–25, 27–28) prorsus hariolatur 26 παγὸν ἀεθλοφόρον spatium excedit: fort. παγόν omisit





## fr. 7 col. i

(*a*)

. . .

].[
] Φίλυλλα Δαμαρέ-
τα ].· καθ' ὑπόθεσιν ταύ-
τ- τ]ῆς Αἰνησιμβρό-
τας ]βου̣[

. . .

(*b*)

. . .

ἵ]να βλέπηι[
τὰς λ]οιπὰς παρθ[ένους **ἀλλ' Ἀγη-**
**σιχό]ρα με [τ]είρ[ει**
]. **ἀλλ' Ἀγησιχ[όρα με τείρει· οὐ**
**γὰρ ἁ] καλλίσφυρος Ἀγη[σιχόρα πάρ' αὐτεῖ·**
ο]ὐχ ὡς νῦν μὴ παρού[σης
τ]ῆς Ἀγησιχόρας ἀλλὰ [
]ται ὅτι ἐὰν εἰ[ς] τῆ[ς Αἰνησιμβρότας
ἔλ]θηις οὐδεμίαν [
].ειν πα[ρθ]ένο[ν
]ε τείρ[ει

e.p. secutus supplevi monendum est, a supplementis pendere sententiam. indicio v. 6 fretus ita summam reddere possis: 3 seq. [τ]είρ[ει· τουτέστιν ἐρωτί με | πιέζε]ι·; 6 seqq. παρού[σης μετὰ τῶν ἄλλων | τῆς Ἀγ. ἀλλὰ [λέγειν βούλε|ται κτλ.; 9 οὐδεμίαν [τοιαύτην δυνήσηι | εὑ]ρεῖν παρθένο[ν ἀλλὰ μόνη Ἀγησιχό|ρα μ]ε τείρ[ει . . . 'verbis οὐ γὰρ . . . αὐτεῖ dicit poeta ab Aenesimbrotae domo, non ab hac nostra caerimonia, abesse Hagesichoram'; ad v. 73, οὐδ' ἐς Αἰν. ἐνθοῖσα, refertur γάρ v. 78, 'non ibis ad Aen., *nam* non illic (αὐτεῖ) sed hic prope Agido manet Hagesichora'; intervenit vv. 74–77 id quod dicere potuisses si ad Aen. ivisses, cuius summa est, nullam illic esse puellam quae tali te desiderio oppresserit quali Hagesichora. ita fere locum obscurissimum interpretari conatus est noster, perperam opinor

(*a*) 3–5 init. accedit ut vid. fr. 13 τ[, τα[ς (vid. e.p.)

## fr. 7 (*a*) col. ii

. . .

εισκ[
**ταδο.[**
.[

. . .

2 lemma indicat ἔκθεσις: veri simile est, hic et in col. i carmen idem respici, sed post v. 80 nusquam invenitur ταδο

## fr. 8

. . .

]μεν.[
]ωθεοιδε[

. . .

cf. vv. 82–83 σιοὶ δέξασθε
cf. etiam fr. 20 τ]ὴν ἡμέρα[ν (ἀμέραν διαπλέκει?); 21. 3, ubi Ξ]άνθω [ῥοαῖσι possis

## 3

**3** P.Oxy. 2387

fr. 1

]τα[
π]αρεγγρά(φεται) ἐν [το]ῖς ἀντιγρά(φοις) αὕτη
]πέμπτωι    κα̣ὶ ἐν ἐκείνωι
ἐν μὲν τῶι] Ἀρ(ιστο)νί(κου) περιεγέγρα(πτο) ἐν δὲ τῶι Πτολ(εμαίου)
ἀπερ[ί]γρα(πτος) ἦν

Ὀλ]υμπιάδες περί με φρένας
]ς ἀοιδας
]ω δ' ἀκούσαι
]ας ὀπός
]. .ρα καλὸν ὑμνιοισᾶν μέλος
].οι
ὕπνον ἀ]πὸ γλεφάρων σκεδ[α]σεῖ γλυκύν
]ς δέ μ' ἄγει πεδ' ἀγῶ̣ν̣' ἴμεν
ἆχι μά]λιστα κόμ[αν ξ]ανθὰν τινάξω·
].σχ[    ἁπ]αλοὶ πόδες

⟨desunt vv. 20⟩

fr. 3 col. i

]
]λος·
]
⟨κρυερὰ⟩ ]
]α
].ας·
]

⟨desunt vv. 23⟩

fr. 3 col. ii

λυσιμελεῖ τε πόσωι, τακερώτερα
δ' ὕπνω καὶ σανάτω ποτιδέρκεται·
οὐδέ τι μαψιδίως γλυκ. .ήνα·
Ἀ[σ]τυμέλοισα δέ μ' οὐδὲν ἀμείβεται
ἀλλὰ τὸ]ν πυλεῶν' ἔχοισα
[ὥ] τις αἰγλά[ε]ντος ἀστήρ
ὠρανῶ διαιπετής
ἢ χρύσιον ἔρνος ἢ ἁπαλὸ[ν ψίλ]ον
. .]ν





]. διέβα ταναοῖς πο[σί·]
-κ]ομος νοτία Κινύρα χ[άρ]ις
ἐπὶ π]αρσενικᾶν χαίταισιν ἴσδει·
Ἀ]στυμέλοισα κατὰ στρατόν
] μέλημα δάμωι
]μαν ἑλοῖσα
]λέγω·
]εναβαλ' α[ἰ] γὰρ ἄργυριν
].[.]ία
]α ἴδοιμ' αἴ πως με. .ον φιλοι
ἆσ]σον [ἰο]ῖσ' ἁπαλᾶς χηρὸς λάβοι,
αἶψά κ' [ἐγὼν ἱ]κέτις κήνας γενοίμαν·
νῦν δ' [    ]δα παίδα βα[.]ὐφρονα
παιδι.[    ]μ' ἔχοισαν
].·ε[    ].ν ἁ παίς
] χάριν·

⟨desunt vv. 5⟩

---

accedit fr. 2 [1]]αν[, [2]] [,´ [3]]ν̣ι̣·[, fr. 1 parti dext. inf. vicinum ut vid.   omnia suppl. e.p. exceptis 9 ἆχι, 65 τὸ]ν, 71 -κ]ομος, 80 ἆσσον ἰοῖσ', 81 ἐγὼν

schol. marg. sup.: 2 αὕτη sc. ᾠδή (vix στροφή); 3 κἀν (τῶι) supplendum ut vid. (ita e.p.); ferebatur ergo idem carmen in libris primo et quinto; rectius in primo opinatur Aristonicus, Ptolemaeus in quinto

accentus, sim., 1–10: 1 ρί   3 κού   5 κᾱ   ᾶν   7 σεῖ   8 γῶ   ἴμ   9 ξω·

1 seqq. erat huiusmodi sententia: Μῶσαι Ὀλυμπιάδες περί με φρένας | ἱμέρωι νέας ἀοιδᾶς | πίμπλατ'· ἰθύω δ' ἀκούσαι | παρθενηΐας (hoc e.p.) ὀπὸς | πρὸς αἰθέρα καλὸν κτλ.   3 marg. schol. vestig. minima   6 ]σοι vel ]εοι ut vid.

34 marg. schol. κ]ρυερα ψυχρα | απαρχ[ε] | π[ε] |

accentus, sim., 61–85: 61 πόσ   62 δ'   ται·   63 γλυκ. .ήνᾱ·   64 α[.]τὺμέλ   δέμ'   65 ῶν'   67 δὶᾰὶ   68 χρῡ   ἢ απ   70 έβᾱ   οῖς   71 τίᾰκινύρᾱ   72 ᾶν   ἴσδει·   73 μέλ   74 δά   75 οῖσ   76 γω·   77 λ'ᾰ ἄργ   78 ίᾱ   79 αἴδοιμ' άι   80 σὸ.[].ς   λᾶς   λάβοι·   81 κηνᾶς   μαν·   82 νῦνδ'   παί   84 ·ε[   ἅπαὶς   85 ιν·

62 θαν in σαν corr.   63 γλυκῆα κήνα non scripsit, fort. debuit   ante hunc versum coronidem posuit manus posterior   65 fort. πυλιῶν' debuit   68 ἢ ἀπ-: synecphonesis   Paus. iii 19. 6 ψίλα καλοῦσιν οἱ Δωριεῖς τὰ πτερά   71–72 supra (παρσενικ)ᾶν nescioquid scriptum: fort. καλλίκομος ν. Κ. χ., | ἦν, ἐπὶ παρσενικᾶς κτλ.   71 unguentum Cyprium ut vid.   72 marg. schol. vestig. minima   73–74 e.g. ἦ μὰν Ἀστ., ἔρχεται μέλ.   77 de βάλ' (vel ἀβάλ') αἰ γὰρ cogitat e.p.   79 vel ἴδοι μ': hic et 64, 73 (ϝαστυ-) fort. digamma scribendum   μ̣ε̣σ̣ι̣ο̣ν ut vid.   i.e. φίλοι, sed fort. φιλοῖ debuit   marg. schol., fort. μό(νον, -νως) Π(τολεμαῖος), vid. e.p.   80 suppl. Barrett, Peek   81 sed κηνᾶς Π   82 βα[θ] vel βα[ρ]   marg. schol. fort. ὁμ(οίως) vel οὔ(τω)